§46 Numbers

Here are the cardinal numbers from 1 to 10:

Vocabulary 32	
εἷς, μία, ἕν	one
δύο	two
τρεῖς, τρία	three
τέτταρες, τέτταρα	four
πέντε	five
ἕξ	six
ἑπτά	seven
ὀκτώ	eight
ἐννέα	nine
δέκα	ten

The numbers 1-4 change their endings depending on the case and gender of the nouns they are referring to, as follows:

	one			**two**	**three**	
	m.	**f.**	**n.**	**(m./f./n.)**	**m./f.**	**n.**
nominative	εἷς	μία	ἕν	δύο	τρεῖς	τρία
accusative	ἕνα	μίαν	ἕν	δύο	τρεῖς	τρία
genitive	ἑνός	μιᾶς	ἑνός	δυοῖν	τριῶν	τριῶν
dative	ἑνί	μιᾷ	ἑνί	δυοῖν	τρισί(ν)	τρισί(ν)

	four	
	m./f.	**n.**
nominative	τέτταρες	τέτταρα
accusative	τέτταρας	τέτταρα
genitive	τεττάρων	τεττάρων
dative	τέτταρσι(ν)	τέτταρσι(ν)

Here are the ordinal numbers from 1st to 5th:

Vocabulary 30	
πρώτος, -η, -ον	first
δεύτερος, -α, -ον	second
τρίτος, -η, -ον	third
τέταρτος, -η, -ον	fourth
πέμπτος, -η, -ον	fifth

These ordinals have endings like the adjectives σοφός and, in the case of δεύτερος, like φίλιος.

§47 Time

Expressions of Time

When expressing time, Greek does not use specific words for *in*, *at*, *on*, *within*, *during*, etc. Instead, the words expressing the time go into a particular case, as follows:

Duration: *for* = accusative endings
Example: ἐτρέχομεν πέντε ἡμέρ**ας.**
We were running for five days.

When: *in, at, on* = dative endings
Example: ἔγραψα **τῇ** τρίτ**ῃ** ἡμέρ**ᾳ.**
I wrote on the third day.

***Vague time*:** *within, during* = genitive endings
Example: γράψω ἑπτὰ ἡμερ**ῶν.**
I will write within seven days.

Here is some vocabulary you will come across in expressions of time. The first two items should already be familiar.

Vocabulary 34	
ἡ ἡμέρα	day
ἡ νύξ, νυκτός	night
ἡ ἑσπέρα	evening
ὁ χρόνος	time

Exercise 47.1

1. τῆς νύκτος ὁ φύλαξ ἐφόνευσε τὸν γέροντα.
2. οἱ Ἕλληνες ἐδίωκον τοὺς πολεμίους ἕξ ἡμέρας.
3. οἱ νεανίαι ἔφευγον πέντε ἡμέρας.
4. ὁ δεσπότης λύσει τὸν δοῦλον ἑπτὰ ἡμερῶν.
5. τῇ πρώτῃ ἡμέρᾳ τοῖς θεοῖς ἐθύσαμεν.

Exercise 47.2

1. οἱ στρατιῶται ἔμενον ἐν τῇ νήσῳ μακρὸν χρόνον.
2. οἱ στρατιῶται δύο ἡμέρας ἐφύλασσον τὸ στρατόπεδον.
3. τῇ τρίτῃ ἑσπέρᾳ ὁ στρατηγὸς ἔλυσε τοὺς ἵππους.
4. ἐπιστολὴν τριῶν ἡμερῶν πέμψω.
5. τῇ δευτέρᾳ νυκτὶ ὁ στρατηγὸς ἔπαυσε τὴν μάχην.

Exercise 47.3

1. ὁ γέρων ἔτρεχε μακρὸν χρόνον.
2. οὐχ οἷοί τ᾽ ἐσόμεθα παρασκευάζειν τὴν στρατιὰν τριῶν ἡμέρων.
3. τίς ἤκουσε τὴν τοῦ γέροντος φωνήν;
4. διὰ τί ἐκέλευσε ὁ φύλαξ τοὺς παῖδας βλάπτειν τὰ καλὰ δένδρα;
5. τοῖς ἀνθρώποις δύο πόδες καὶ δύο χεῖρές εἰσιν.

Exercise 47.4

1. On the third evening.
2. For ten days.
3. On the second night.
4. For a long time.
5. During the night.

§48 Third Declension Nouns: neuter group

These are common. They follow the following pattern:

	singular	plural
nominative	-	stem + α
vocative	(same as nominative)	stem + α
accusative	(same as nominative)	stem + α
genitive	stem + ος	stem + ων
dative	stem + ι	stem + σι(ν)

Here is a sample noun which follows this pattern:

τὸ σῶμα, σώματος, body

	singular	plural
nominative	σῶμα	σώματα
vocative	σῶμα	σώματα
accusative	σῶμα	σώματα
genitive	σώματος	σωμάτων
dative	σώματι	σώμασι(ν)

Another group of common neuter nouns ends in –ος
(do not confuse these with masculine nouns like λόγος!):

τὸ τεῖχος, τείχους, wall

	singular	plural
nominative	τεῖχος	τείχη
vocative	τεῖχος	τείχη
accusative	τεῖχος	τείχη
genitive	τείχους	τειχῶν
dative	τείχει	τείχεσι(ν)

Vocabulary 35	
τὸ σῶμα, σώματος	body
τὸ ὄνομα, ὀνόματος	name
τὰ χρήματα, χρημάτων (pl.)	money, goods, property
τὸ τεῖχος, τείχους	wall
τὸ ἔτος, ἔτους	year
τὸ ξίφος, ξίφους	sword
τὸ ὄρος, ὄρους	mountain
μένω	I wait, wait for, remain

§49 αὐτός: him, her, it, them; -self

αὐτός = him, her, it, them etc.; -self

		m.	f.	n.
Singular	**nominative**	αὐτός	αὐτή	αὐτό
	accusative	αὐτόν	αὐτήν	αὐτό
	genitive	αὐτοῦ	αὐτῆς	αὐτοῦ
	dative	αὐτῷ	αὐτῇ	αὐτῷ
Plural	**nominative**	αὐτοί	αὐταί	αὐτά
	accusative	αὐτούς	αὐτάς	αὐτά
	genitive	αὐτῶν	αὐτῶν	αὐτῶν
	dative	αὐτοῖς	αὐταῖς	αὐτοῖς

αὐτός has three basic uses:
1. an adjective adding emphasis.
2. a pronoun.
3. = *the same*

Study the examples on the following page:

1. Adjective - emphatic use ('-self')

Examples: ὁ στρατηγὸς αὐτὸς ἔφευγεν.
The general himself was running away.

ἔβλαπτε τὴν θεὰν αὐτήν.
He was harming the goddess herself.

2. Pronoun - 'him', 'her', 'it', 'them'

Examples: βλάπτομεν αὐτόν. = *We are harming him.*
βλάπτομεν αὐτήν. = *We are harming her.*
βλάπτομεν αὐτούς. = *We are harming them.*

Note also the genitive use:
βλάπτομεν τὸν δοῦλον αὐτοῦ. =
We are harming the slave of him. =
We are harming his slave.

βλάπτομεν τὸν δοῦλον αὐτῆς. =
We are harming the slave of her. =
We are harming her slave.

βλάπτομεν τοὺς δούλους αὐτῶν. =
We are harming the slaves of them. =
We are harming their slaves.

3. = *the same*

Word order: word for *the* + αὐτός + noun (i.e. as in English!)

Examples:
ὁ αὐτὸς ἀνήρ *the same man*
αἱ αὐταὶ θεαί *the same goddesses*
τὰ αὐτὰ ὅπλα *the same weapons*

Sometimes the word for *the* merges with the word for *same* when it begins with a vowel. This leads to a strange-looking word with a breathing mark apparently in the middle of it, like this:

ταὐτὰ ὅπλα = τὰ αὐτὰ ὅπλα *the same weapons*

(The smart grammatical term for this is *crasis*, which means *blending*.)

Exercise 49.1

1. ὁ κριτὴς ἐπίστευσεν αὐτοῖς.
2. ὁ στρατηγὸς αὐτὸς φεύγει.
3. ἆρα γράφεις τὰ ὀνόματα αὐτῶν;
4. ἀναγκάζομεν αὐτοὺς φεύγειν ἐκ τῆς χώρας.
5. οὐκ ἔβλαπτε τὴν οἰκίαν αὐτήν.
6. ἔχω τὰ χρήματα. αὐτὰ δὲ φέρω ἐκ τῆς οἰκίας.
7. ὁ γέρων ἔλεγε σοφοὺς λόγους αὐτῇ.
8. τὸ ἱερὸν αὐτὸ μικρὸν μέν ἐστιν, καλὸν δέ.
9. ὁ νεανίας ἔμενεν αὐτὴν ἐν τῇ νήσῳ.
10. τὰ τῶν στρατιωτῶν ὅπλα ἔσῳζεν αὐτούς.

Exercise 49.2

1. τὸ τοῦ στρατηγοῦ ὄνομα Νικίας ἦν.
2. οἱ παῖδες ἔβλαπτον τὰ τῶν ἵππων σώματα τοῖς δεινοῖς ξίφεσιν.
3. ἐπιστολὴν μακρὰν ἐγράψαμεν καὶ αὐτὴν ἐπέμψαμεν πρὸς τὸν γέροντα.
4. οἱ Ἕλληνες αὐτοὶ ἤθελον παύειν τὴν μάχην.
5. χαλεπὸν ἔσται λαμβάνειν τὸ ἐν τῷ ὄρει στρατόπεδον.
6. οἱ Ἀθηναῖοι ἤθελον τὰ τῶν πολεμίων χρήματα λαμβάνειν.
7. πέντε ἔτη οἱ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι αὐτῶν εὖ ἔπραξαν ἐν τῷ πολέμῳ.
8. ἤκουσα τοὺς τοῦ θεοῦ λόγους καὶ ἐθαύμαζον αὐτούς.
9. οἱ κριταὶ ἐκέλευσαν τὸν στρατηγὸν μὴ ἄγειν αὐτούς.
10. οἱ Ἀθηναῖοι ὅπλα εἶχον καὶ ἔφερον αὐτὰ εἰς τὸ στρατόπεδον.

Exercise 49.3

1. The guards are capturing him.
2. Her name is beautiful.
3. The master is not killing her.
4. The allies were always trusting him.
5. The goddess' body was beautiful.

Exercise 49.4

1. Their swords and weapons are terrible.
2. The old man himself announces the victory to the citizens.
3. Friendly men do not kill children.
4. It is not easy to trust the judge himself.
5. The general ordered the old men to guard the walls of the camp.

§50 ***Despite Poseidon's hostility, Odysseus, trying to return home, escapes to Calypso's island. Athene sends Hermes to tell her not to keep Odysseus imprisoned there.***

ὁ Ποσειδῶν, ὁ τῆς θαλάσσης θεός,
ἔχθρὸς ἦν τῷ Ὀδυσσεῖ καὶ ἤθελε
ἀποκτείνειν αὐτόν. ὁ δὲ τέλος ἔφευγεν
ἐκ τῆς θαλάσσης πρὸς τὴν νῆσον τὴν
τῆς θεᾶς, ὀνόματι Καλύψους. ἡ μὲν
Καλυψὼ ἠνάγκαζε τὸν Ὀδυσσέα ἐν τῇ
νήσῳ μένειν, ἡ δὲ Ἀθήνη ἀεὶ φιλία ἦν
αὐτῷ. ἔπεισε οὖν τὸν Ἑρμῆν, τὸν τῶν
θεῶν ἄγγελον, βαίνειν πρὸς τὴν
Καλυψὼ καὶ λέγειν <u>οὕτως</u>·
‘μὴ κώλυε τὸν Ὀδυσσέα <u>οἴκαδε</u> βαίνειν.
ἔργον γὰρ αἰσχρόν ἐστι βλάπτειν
δίκαιον ἄνθρωπον καὶ ἀνδρεῖον.’

οὕτως = as follows
οἴκαδε = (to) home

Punctuation note:
Look at the last word of line 10 above: οὕτως·
The single dot at the top – · – is the Greek equivalent of an English colon (:).

§51 Some irregular nouns

		woman (f.)	city (f.)	ship (f.)
Singular	**nominative**	γυνή	πόλις	ναῦς
	vocative	γύναι	πόλις	ναῦ
	accusative	γυναῖκα	πόλιν	ναῦν
	genitive	γυναικός	πόλεως	νεώς
	dative	γυναικί	πόλει	νηί
Plural	**nominative**	γυναῖκες	πόλεις	νῆες
	vocative	γυναῖκες	πόλεις	νῆες
	accusative	γυναῖκας	πόλεις	ναῦς
	genitive	γυναικῶν	πόλεων	νεῶν
	dative	γυναιξί(ν)	πόλεσι(ν)	ναυσί(ν)

		king (m.)	Zeus (m.)
Singular	**nominative**	βασιλεύς	Ζεύς
	vocative	βασιλεῦ	Ζεῦ
	accusative	βασιλέα	Δία
	genitive	βασιλέως	Διός
	dative	βασιλεῖ	Διί
Plural	**nominative**	βασιλῆς/εῖς	
	vocative	βασιλῆς/εῖς	
	accusative	βασιλέας	
	genitive	βασιλέων	
	dative	βασιλεῦσι(ν)	

Vocabulary 36	
ὁ βασιλεύς, βασιλέως	king
ὁ ἱππεύς, ἱππέως	cavalryman (pl. ἱππεῖς the cavalry)
ἡ γυνή, γυναικός (dat.pl. γυναιξί[ν])	woman, wife
ὁ Ζεύς, Διός	Zeus
ἡ ναῦς, νεώς	ship
ἡ πόλις, πόλεως	city, state
ὁ ἄρχων, ἄρχοντος (dat.pl. ἄρχουσι[ν])	ruler, magistrate
ἡ Ἑλλας, Ἑλλάδος	Greece
ὁ ἡγεμών, ἡγεμόνος (dat.pl. ἡγεμόσι[ν]))	leader
ἡ μήτηρ, μητρός (dat.pl. μητράσι[ν]))	mother*
ὁ πατήρ, πατρός (dat.pl. πατράσι[ν]))	father*
ἡ θυγάτηρ, θυγάτρος (dat.pl. θυγατράσι[ν])	daughter*
ὁ λιμήν, λιμένος (dat.pl. λιμέσι[ν]))	harbour
ἐπί + acc.	against, onto, on, at

*For the complete tables of *mother*, *father* and *daughter* see the Grammar Summary, page 226.

Exercise 51.1

1. τὸ ὄνομα τοῦ βασιλέως τοῦ τῶν πολεμίων Ξέρξης ἦν.
2. οἱ σύμμαχοι ἔπεμψαν ὅπλα τε καὶ ἔξ ναῦς πρὸς τὴν Ἑλλάδα.
3. αἱ τῶν Ἀθηναίων νῆες ἔσωσαν τὴν πόλιν.
4. ὁ ἄρχων ἐκέλευσε τὴν γυναῖκα μὴ πιστεύειν τῷ κακῷ
5. διὰ τὴν νόσον ὁ ἰατρὸς τοὺς γέροντας ἠνάγκασε βαίνειν ἐκ τῆς πόλεως.

Exercise 51.2

1. οἱ μὲν ἄνδρες ἐχθροὶ ἦσαν, αἱ δὲ γυναῖκες φίλιαι.
2. ὁ Νικίας ἐχθρὸς ἦν τῷ τῶν πολεμίων ἡγεμόνι.
3. διὰ τί ὁ πατὴρ ἐκέλευσε τὴν θυγατέρα ἐν τῇ πόλει μένειν;
4. αἱ νῆες οὐχ οἷαί τ᾽ ἦσαν βλάπτειν τὰ τῆς πόλεως τείχη.
5. οἱ στρατιῶται ἐφύλασσον τὰς ἐν τῷ λιμένι ναῦς.

Exercise 51.3

1. Why were the wicked young men running through the streets of the city?
2. The soldiers in the camp often used to sacrifice to Zeus.
3. The evil woman ordered the guard to kill the old man during the night with his sword.
4. The hostile leader sent an army against the Greeks in ships.
5. For three years the handsome young man was chasing the king's daughter.

§52 τις

τις = someone/thing, anyone/thing, a certain, some etc.

		masculine/ feminine	neuter
Singular	**nominative**	τις	τι
	accusative	τινά	τι
	genitive	τινός	τινός
	dative	τινί	τινί
Plural	**nominative**	τινές	τινά
	accusative	τινάς	τινά
	genitive	τινῶν	τινῶν
	dative	τισί(ν)	τισί(ν)

Notes on τις

τις never appears as the first word in a sentence, unlike τίς; or τί; (*Who? What?*). It can be used as a pronoun or an adjective. Study the following examples:

Pronoun

βλάπτει τις τοὺς ἵππους.
Someone is harming the horses.

ἆρ᾽ἐθέλεις λέγειν τι;
Do you want to say something/anything?

Adjective
δοῦλός τις βλάπτει τοὺς ἵππους.
A certain slave/one of the slaves is harming the horses.

δοῦλοί τινες βλάπτουσι τοὺς ἵππους.
Some/certain slaves are harming the horses.

Vocabulary 37	
τις	a certain
ὀλίγοι, ὀλίγαι, ὀλίγα	few (plural endings)
εἰ	if
ὅτε	when
ὅτι	because
οὔτε... οὔτε...	either... or...
ἑτοῖμος, ἑτοίμη, ἑτοῖμον	ready
μόνος, μόνη, μόνον	alone

Exercise 52.1

1. φεύγει τις ἐκ τῆς μάχης.
2. ὁ ποιητὴς ἤθελε γράφειν τι.
3. φύλακές τινες ἔχουσιν ὅπλα.
4. ἡ νόσος ἀποκτείνει πολίτας τινάς.
5. δοῦλοί τινες ἦσαν ἐν τῇ οἰκίᾳ.
6. οἱ βάρβαροι οὐκ ἐπίστευον θεοῖς τισιν.
7. οὐ ῥᾴδιον ἔσται πείθειν τινὰ μένειν ἐν τῇ
8. στρατιῶταί τινες ἐν τῇ ἀγορᾷ ἦσαν.
9. ἔστιν ἰατρός τις ἐν τῷ στρατοπέδῳ.
10. ὁ βασιλεὺς ἐκόλασε στρατιώτην τινά.

§53 *Codrus saves Athens by sacrificing his own life.*

ὁ Κόδρος ἦν βασιλεύς τις τῶν Ἀθηναίων. ἀνὴρ δὲ σοφὸς ἦν. ὅτε δὲ οἱ πολέμιοι ἔπεμψαν στρατιὰν πρὸς τὰς Ἀθήνας, ὁ Κόδρος ἐκέλευσεν ἀγγέλους τινὰς βαίνειν πρὸς τὸ μαντεῖον. ὁ δὲ θεὸς τοῖς ἀγγέλοις ἔλεξεν· ‘ὀλίγων ἡμερῶν οἱ πολέμιοι παρέσονται. οἱ δὲ Ἀθηναῖοι ἕξουσι τὴν νίκην εἰ οἱ πολέμιοι ἀποκτενοῦσι τὸν Κόδρον αὐτόν.’ ὁ δὲ Κόδρος νῦν τοῖς Ἀθηναίοις ἔλεξεν· ‘ἑτοῖμός εἰμι ἀποθνῄσκειν. οἱ οὖν πολέμιοι οὐχ οἷοί τ’ἔσονται λαμβάνειν οὔτε τὴν πόλιν οὔτε τοὺς πολίτας.’ ἔπειτα δὲ ὁ Κόδρος ἐστράτευσε μόνος ἐπὶ τοὺς πολεμίους καὶ ἀπέθανεν. καὶ αὐτὸς διὰ τὸ ἀνδρεῖον ἔργον ἔσωσε τὰς Ἀθήνας.

μαντεῖον = oracle

παρέσονται = (they) will be present

ἕξουσι = (they) will have

ἀποκτενοῦσι = (they) will kill

ἀπέθανεν = (he) died

§54 Augments

As you know, when παύω forms its imperfect and aorist tenses the vowel ἐ- is added to the front of the stem παυ-. Hence ἔπαυον (imperfect: *I was stopping*) and ἔπαυσα (aorist: *I stopped*). This ἐ- is called an augment.

Not all verbs however start with a consonant like παύω does. Some start with a vowel. When the ἐ- is added to the front of a verb beginning with a vowel, that vowel is basically lengthened. Here are four basic rules for augmentation.

1. Verbs starting with a consonant: add ἐ-.
   παύω (*I stop*) becomes ἔπαυον (*I was stopping*).

2. Verbs starting with a vowel: lengthen the vowel.
   ἀ becomes ἠ: ἄγω (*I lead*) → ἦγον (*I was leading*)

   ἐ becomes ἠ: ἐθέλω (*I wish*) → ἤθελον (*I wished*)

   ὀ becomes ὠ: ὀρύσσω (*I dig*) → ὤρυσσον (*I was digging*)

3. Diphthongs ending with ι: the vowel is lengthened and the ι becomes a subscript.
   αἱρέω (*I take*) → ᾕρεον (*I was taking*)
   οἰκέω (*I live*) → ᾤκεον (*I was living*)

4. There is a very common but tricky irregular which is worth knowing:
   ἔχω (*I have*) → εἶχον (*I was having*)

§55 Compound Verbs

These are verbs which have their meaning slightly altered by the addition of a preposition at the front. Here are some examples, using the core verb βαίνω, *I go.*

ἀποβαίνω	*I go away*
διαβαίνω	*I go through, across*
ἐκβαίνω	*I go out*
εἰσβαίνω	*I go into*
προσβαίνω	*I go towards, attack*

In compound verbs the augment is inserted between the preposition and the core verb:

εἰσβαίνω *I go into* → εἰσέβαινον *I was going into*

εἰσάγω *I lead into* → εἰσῆγον *I was leading into*

Notes:

The preposition ἀπό has its ο replaced by an ε:

ἀποβαίνω *I go away* → ἀπέβαινον *I was going away*

ἐκ changes to ἐξ:

ἔκφευγω *I escape* → ἐξέφευγον *I was escaping*

Vocabulary 38	
διαφθείρω, fut. διαφθερῶ aor. διέφθειρα	I destroy
εἰσβάλλω	I throw into, invade
ἐκφεύγω	I escape
παρασκευάζω, aor. παρεσκεύασα	I prepare
προσβάλλω + dat.	I attack
συλλέγω, συλλέξω, συνέλεξα	I collect, assemble
τὸ ναυτικόν	fleet
περί + acc.	around
περί + gen.	about, concerning
διότι	because
ὡς	as, when, because

Exercise 55.1

1. τίνες παῖδες διέφθειρον τὴν οἰκίαν;
2. τί οἱ στρατιῶται αὐτοὶ ἐθέλουσιν;
3. τίς ἔπεμψε τὰς γυναῖκας ἐκ τῶν Ἀθήνων;
4. τί ἐκώλυσε τοὺς πολεμίους προσβάλλειν τῷ στρατοπέδῳ;
5. τίς ἐφύλασσε τὰ τῆς πόλεως τείχη;
6. τί λέγουσιν οἱ ἄρχοντες;
7. τίνα ἐστὶ τὰ τῶν νεανιῶν ὀνόματα;
8. τίς δοῦλος κακὴν ἐπιστολὴν ἔγραψε;
9. τίνες στρατιῶται εὖ ἔπραξαν ἐν τῇ δεινῇ μάχῃ;
10. τίνι τῶν φυλάκων οὐ πιστεύεις, ὦ στρατηγέ;

Exercise 55.2

1. οἱ Ἀθηναῖοι στρατιώτας συνέλεξαν καὶ ναῦς παρεσκεύασαν.
2. οἱ Λακεδαιμόνιοι πολλάκις εἰσέβαλλον τὴν τῶν Ἀθηναίων χώραν.
3. δέκα ἔτη οἱ Ἕλληνες προσέβαλλον τῇ πόλει. ἔπειτα δὲ διέφθειραν αὐτήν.
4. διὰ τί δοῦλοί τινες ἐκ τοῦ στρατοπέδου ἐξέφευγον;
5. ὁ στρατηγὸς ἦγε στρατιάν τε καὶ ναυτικὸν ἐπὶ τοὺς πολεμίους.

Exercise 55.3

1. διὰ τὸν κίνδυνον οἱ ναῦται ἐξέφευγον ἐκ τῆς θαλάσσης.
2. τίς περὶ τοῦ πολέμου ἔλεγεν ἐν τῇ ἐκκλησίᾳ;
3. οἱ πολέμιοι ἤθελον εἰσβάλλειν τὴν χώραν καὶ προσβάλλειν τῇ τῶν Ἀθηναίων πόλει καὶ ἀποκτείνειν τοὺς πολίτας.
4. τῆς νυκτὸς ὁ δοῦλος ὅπλα συνέλεξε καὶ τὴν γυναῖκα ξίφει ἐφόνευσεν.
5. ὁ Ζεὺς ἐχθρὸς ἦν τοῖς πολεμίοις καὶ διέφθειρε τὰς ναῦς αὐτῶν.

§56 *The singer Arion, sailing from Italy to Corinth, escapes from some wicked sailors in an unusual way.*

ὁ Ἀρίων ἦν κιθαρῳδὸς καὶ διὰ τὴν καλὴν φωνὴν πλούσιος ἦν. ἔβαινε ποτε ἐν νηὶ ἀπ᾽ Ἰταλίας εἰς Κόρινθον. οἱ δὲ κακοὶ ναῦται, διότι ἐβούλευσαν τὰ τοῦ κιθαρῳδοῦ χρήματα καὶ τὸν χρυσὸν λαμβάνειν καὶ αὐτὸν ἀποκτείνειν, ἠνάγκασαν τὸν Ἀρίονα τὸ ἔσχατον ᾄδειν. ἀλλ᾽ ὁτε τὴν φωνὴν αὐτοῦ καλὴν ἤκουσαν, οὐχ οἷοί τ᾽ ἦσαν τὸ αἰσχρὸν ἔργον πράσσειν. ὁ δὲ Ἀρίων αὐτὸς φεύγειν ἠθέλεσεν. ἔρριψεν οὖν ἑαυτὸν ἀπο τῆς νεὼς εἰς τὴν θάλασσαν. ἐθαύμαζον δὲ οἱ ναῦται, ὡς δελφίς τις ἔνεγκε τὸν Ἀρίονα πρὸς τὴν γῆν.

κιθαρῳδός = singer

ποτε = once

βούλευω = I plan, plot

τὸ ἔσχατον ᾄδειν = to sing for the last time

ἔρριψεν... ἑαυτὸν = he threw himself

δελφίς = dolphin
ἔνεγκε = carried

§57 Middle Verbs

A large number of important Greek verbs have a present tense ending not in -ω but in -ομαι. Their personal endings are as follows:

-ομαι	I
-ει/ῃ	You (singular)
-εται	He/She/It
-ομεθα	We
-εσθε	You (plural)
-ονται	They

You may remember these endings: they are the same as the future endings of εἰμί (ἔσομαι). These kinds of verbs are called Middle Verbs. Here are ten common examples:

Vocabulary 39	
αἰσθάνομαι	I notice
ἀποκρίνομαι	I answer, reply
ἄρχομαι	I begin
βούλομαι (+ infinitive)	I wish, want (to do something)
γίγνομαι	I become, happen
δέχομαι	I receive
ἔρχομαι	I come, go*
μάχομαι (+dat.)	I fight (with)
παύομαι (+ gen.)	I cease (from), stop (doing something)
πορεύομαι	I march, travel

*As you would expect, ἔρχομαι is a very common verb, and occurs in lots of compounds, e.g.

ἀπέρχομαι	I go away, depart
εἰσέρχομαι	I go into, enter
ἐξέρχομαι	I go/come out of
ἐπανέρχομαι	I return
προσέρχομαι	I go towards/approach

So, here is the present tense of παύομαι, *I cease from*, *I stop (doing something)* as an example:

παύομαι	I cease
παύει/παύῃ	You cease (singular)
παύεται	He ceases
παυόμεθα	We cease
παύεσθε	You cease (plural)
παύονται	They cease

(Present infinitive: παύεσθαι, to cease from)

Middle futures

εἰμί is not the only Greek verb which uses these middle endings for their futures. Here are four common ones:

ἀκούω	I hear, listen to	ἀκούσομαι	I shall hear, listen to
βαίνω	I go	βήσομαι	I shall go
λαμβάνω	I take, capture	λήψομαι	I shall take, capture
φεύγω	I flee	φεύξομαι	I shall flee

Exercise 57.1

1. ὁ δοῦλος οὐκ ἀποκρίνεται.
2. μαχόμεθα τοῖς πολεμίοις.
3. ὁ βασιλεὺς πλούσιος γίγνεται.
4. δῶρον δέχομαι.
5. οἱ ἄγγελοι ἐπανέρχονται.
6. οἱ βάρβαροι παύονται τῆς μάχης.
7. οὐ βουλόμεθα μάχεσθαι.
8. ἆρ᾽ αἴθεσθε τὸν βασιλέα;
9. διὰ τί ἐκ τοῦ στρατοπέδου πόρευει;
10. εἰς τὸν ποταμὸν εἰσερχόμεθα.

Exercise 57.2

1. The soldiers want to attack the enemy.
2. The slaves are coming out of the city.
3. The king receives both money and weapons.
4. The Athenians are always fighting the Spartans.
5. The allies are marching into the camp.

Exercise 57.3

1. ὁ στρατηγὸς δέχεται τὰ ὅπλα.
2. οἱ δοῦλοι παύονται τοῦ ἔργου.
3. οἱ στρατιῶται βούλονται μάχεσθαι.
4. οὐ βουλόμεθα προσβάλλειν τῷ στρατοπέδῳ.
5. οἱ σύμμαχοι πορεύονται ἐκ τοῦ στρατοπέδου τῆς νυκτός.
6. πρὸς τὴν πόλιν προσερχόμεθα.
7. ὁ δοῦλος αἰσθάνεται τοὺς ἵππους τοὺς ἐν τῷ ποταμῷ.
8. ὁ ἄγγελος οὐ βούλεται ἀποκρίνεσθαι τοῖς πολεμίοις.
9. διὰ τί αἱ γυναῖκες ἐχθραὶ γίγνονται;
10. οἱ Λακεδαιμόνιοι μάχεσθαι ἄρχονται.

§58 The future, imperfect and aorist middle

Future *I will cease etc*	**Imperfect** *I was ceasing etc*	**Aorist** *I ceased etc.*
παύσομαι	ἐπαυόμην	ἐπαυσάμην
παύσει / παύσῃ	ἐπαύου	ἐπαύσω
παύσεται	ἐπαύετο	ἐπαύσατο
παυσόμεθα	ἐπαυόμεθα	ἐπαυσάμεθα
παύσεσθε	ἐπαύεσθε	ἐπαύσασθε
παύσονται	ἐπαύοντο	ἐπαύσαντο

Four tricky aorists:

Present			**Aorist**	
ἀποκρίνομαι	*I reply*	→	ἀπεκρινάμην	*I replied*
ἄρχομαι	*I begin*	→	ἠρξάμην	*I began*
δέχομαι	*I receive*	→	ἐδεξάμην	*I received*
μάχομαι	*I fight*	→	ἐμαχεσάμην	*I fought*

Vocabulary 40	
ὀργή, ἡ	anger
ὑπέρ + gen.	for, on behalf of

§59 *The Greek fleet cannot set sail until the general's daughter is sacrificed.*

οἱ Ἕλληνες ἐβούλοντο προσβάλλειν τῇ Τροίᾳ καὶ λαμβάνειν. συνέλεξαν οὖν στρατιώτας τε καὶ ναῦς. ἀλλ᾽ οὐχ οἷοί τ᾽ ἦσαν πλεῦσαι διὰ τὴν τῆς θεᾶς ὀργήν. ὁ γὰρ τῶν Ἑλλήνων στρατηγὸς αὐτὴν ὕβρισε, καὶ ἡ θεὰ ἐκώλυσε τὰς ναῦς πλεῦσαι. γέρων τις ἔλεξε τῷ στρατηγῷ· ‘θύε τὴν θυγατέρα τῇ θεᾷ. ἔπειτα τὸ ναυτικὸν οἷά τ᾽ ἔσται πλεῦσαι.’ ὁ στρατηγὸς ἤκουσε μὲν τοὺς δεινους λόγους, χαλεπὸν δὲ αὐτῷ ἦν ἀποκτείνειν τὴν θυγατέρα. ἀλλα ἡ ἀνδρεία θυγάτηρ αὐτὴ ἐβούλετο ἀποθνῄσκειν ὑπὲρ τῆς πατρίδος.

ἡ Τροία = Troy

πλεῦσαι = to sail

ὑβρίζω = I insult

ἡ πατρίς, πατρίδος = country, native land

§60 Some revision exercises

Exercise 60.1

1. τίς ἀκούσεται τοὺς τοῦ στρατηγοῦ λόγους;
2. ἐδεξάμεθα τὴν τοῦ βασιλέως ἐπιστολήν.
3. οἱ Ἕλληνες ἐμάχοντο δέκα ἔτη.
4. οἱ ἀνδρεῖοι πολῖται ἐβούλοντο εὖ μάχεσθαι.
5. οἱ στρατιῶται εὖ ἐμαχέσαντο ἐν τῇ μάχῃ.
6. οἱ δοῦλοι οὐ φεύξονται ἀπὸ τῆς νήσου.
7. ὁ νεανίας οὐκ εὖ ἀπεκρίνατο.
8. ἡ ἐν τῇ νήσῳ μάχη εὖ ἤρξατο.
9. οἱ ἄγγελοι οὐκ ἀπεκρίναντο τῷ τὸν τῶν Ἀθηναίων ἡγεμόνι.
10. οἱ δοῦλοι φεύξονται τῇ δευτέρᾳ ἡμέρᾳ.

Exercise 60.2

1. You (singular) fought well.
2. We replied.
3. We shall flee.
4. You (plural) received.
5. They are going.
6. We were marching.
7. He began.
8. You (plural) are fighting.
9. We were wanting.
10. They will take.

Exercise 60.3

1. βησόμεθα πέντε ἡμερῶν.
2. ὁ δῆμος ἐδέξατο τὰ χρήματα.
3. τίς λήψεται τὸ τῶν πολεμίων στρατόπεδον;
4. ἔξ ἡμέρας ἐπορευσάμεθα.
5. ἐμαχόμεθα ἐν τῇ πόλει.

Exercise 60.4

1. We received a long letter.
2. The young men fought well in the battle.
3. The Athenians' soldiers were marching for five days.
4. Who wants to burn the enemy's camp?
5. We shall always listen to the general's wise words.

Exercise 60.5

1. ἐδέξατο τὴν ἐπιστολὴν τῇ τρίτῃ ἡμέρᾳ.
2. διὰ τί οἱ στρατιῶται οὐκ ἤθελον μάχεσθαι;
3. οὐκ ἀεὶ αἰσχρόν ἐστι δέχεσθαι τὰ χρήματα.
4. οἱ σύμμαχοι δέξονται τὰ ὅπλα καὶ τὰς ναῦς τριῶν ἡμέρων.
5. οἱ Ἀθηναῖοι καὶ οἱ πολέμιοι ἐμάχοντο δέκα ἔτη.

§61 Strong aorists

In English, regular verbs form their past tense by adding *-ed* to the verb stem.
e.g. I show → past tense: I showed

However, many past tenses in English are totally irregular:
e.g. I go → past tense: I went (not 'I goed'!).

The same thing happens in Greek. The aorist tense of some verbs changes form completely. Instead of the usual aorist endings (-σα, -σας, -σε, -σαμεν, -σατε, -σαν), these verbs have the same endings as those of the imperfect tense: -ον, -ες, -ε(ν), -ομεν, -ετε, -ον.

The stem preceding these endings often changes also, frequently becoming shorter than the original present stem. Such forms are called **Strong Aorists**, and are a common feature of Greek. Here is an example.

λαμβάνω *I take, capture*

Strong aorist:	ἔλαβον	I took, captured
	ἔλαβες	You took, captured (singular)
	ἔλαβε(ν)	He took, captured
	ἐλάβομεν	We took, captured
	ἐλάβετε	You took, captured (plural)
	ἔλαβον	They took, captured

Here are some common verbs which have strong aorists:

Present		Strong Aorist	
ἄγω	I lead	ἤγαγον	I led
ἀποθνήσκω	I die, am killed	ἀπέθανον	I died, was killed
βάλλω	I throw	ἔβαλον	I threw
εἰσβάλλω	I invade	εἰσέβαλον	I invaded
προσβάλλω	I attack	προσέβαλον	I attacked
ἔρχομαι	I go, come*	ἦλθον	I went, came
ἔχω	I have, hold	ἔσχον	I had, held
λαμβάνω	I take, capture	ἔλαβον	I took, captured
λέγω	I say	εἶπον	I said
ὁράω	I see (a new verb)	εἶδον	I saw
τρέχω	I run	ἔδραμον	I ran
φέρω	I carry	ἤνεγκον	I carried
φεύγω	I flee	ἔφυγον	I fled

***Compounds of ἔρχομαι**, *I go*
As we have already noted, these are common:

Present		Strong Aorist	
ἀπέρχομαι	I go away, depart	ἀπῆλθον	I went away, departed
εἰσέρχομαι	I go into, enter	εἰσῆλθον	I went into, entered
ἐξέρχομαι	I go out/come out of	ἐξῆλθον	I went out of
ἐπανέρχομαι	I return	ἐπανῆλθον	I returned
προσέρχομαι	I approach	προσῆλθον	I approached

Exercise 61.1

1. ἐβάλομεν.
2. εἰσήλθετε.
3. εἶδεν.
4. ἦλθες.
5. ἐφύγομεν.
6. εἶπεν.
7. ἔδραμον.
8. ἠνέγκετε.
9. ἤγαγες.
10. ἔσχεν.

Exercise 61.2

1. We died.
2. We went.
3. He ran.
4. You (plural) captured.
5. We led.
6. You (plural) had.
7. We saw.
8. You (singular) carried.
9. He fled.
10. They said.

Exercise 61.3

1. οἱ ἀνδρεῖοι στρατιῶται ἀπέθανον.
2. ἡ γυνὴ οὐκ εἶδε τοὺς κινδύνους.
3. μετὰ τὴν μάχην ἦλθομεν εἰς τὴν πόλιν.
4. ὁ στρατηγὸς ἤγαγε τοὺς στρατιώτας ἐπὶ τοὺς πολεμίους.
5. οἱ κριταὶ εἶπον σοφοὺς λόγους τοῖς νεανίαις.
6. ὁ παῖς ἔδραμε εἰς τὸν ποταμόν.
7. οἱ γέροντες ἔβαλον τὰ ὅπλα εἰς τὴν θάλασσαν.
8. ἐφύγομεν ἐκ τοῦ κινδύνου.
9. οἱ φύλακες ἔσχον ὅπλα τε καὶ χρήματα.
10. ὁ ἀνδρεῖος ναύτης ἀπέθανεν ἐν τῇ μάχῃ.

Exercise 61.4

1. We saw the good dinner.
2. The boys ran out of the market place.
3. Who had the money?
4. The man was hiding his weapons in the camp.
5. Why did you (singular) throw stones into the river?

Vocabulary 41	
ἐνθάδε	here
ἐπεί	since, when
εὐθύς	immediately
λάθρᾳ	secretly
ἡμέτερος, -α, -ον	our
ὕστερον	later
ἀγρός, ὁ	field
υἱός, ὁ	son
βουλή, ἡ	meeting; council
ὁ ἀγών, ἀγῶνος	contest, trial
παρά + gen.	from (a person)
παρά + acc.	along; contrary to
φαίνομαι + infinitive	I seem, appear (to....) – but it may not be definite *see example below

*ὁ κριτὴς φαίνεται σοφὸς εἶναι =
The judge seems to be wise. (He may be, but he may not be)

§62 *Paris, abandoned and left to die by his father Priam, returns to Troy as a young man.*

τῷ δὲ Πριάμῳ ἦν υἱός, ὀνόματι Πάρις, νεανίας καλός τε καὶ ἀνδρεῖος ὤν. ἐπεὶ δὲ ὁ Ζεὺς ἠνάγκασεν αὐτὸν κριτὴν εἶναι ἐν τῷ τῶν θεῶν ἀγῶνι, οὐκ ἦν ἐν Τροίᾳ ἀλλὰ ἐν τοῖς ἀγροῖς. ὕστερον δὲ ἡ θεὰ Ἀφροδίτη ἤγαγε τὸν νεανίαν εἰς τὴν Τροίαν. καὶ ὁ πατὴρ εἶδε τὸν νεανίαν καὶ τῇ μητρὶ εἶπεν· ‘οὗτος ὁ νεανίας φαίνεται ἡμέτερος υἱὸς εἶναι· οὐ δ’ἀπέθανεν.’ ἔπειτα δὲ ὁ Πάρις ἦλθεν εἰς τὴν τοῦ πατρὸς οἰκίαν καὶ ἐκεῖ μακρὸν χρόνον ἔμενεν.

ὤν = being

οὗτος = this

§63 Present participles

A participle is a part of a verb used as an adjective, e.g. flying saucer (from the verb *to fly*), burnt toast (from the verb *to burn*). Participles are very common in Greek, where their use is more flexible than in English.

Present active participles
Present participles have the basic meaning of '.....-ing'. Here is the table of the present participle active of παύω, *I stop*

παύων, *stopping*

SINGULAR	**masculine**	**feminine**	**neuter**
nominative	παύων	παύουσα	παῦον
accusative	παύοντα	παύουσαν	παῦον
genitive	παύοντος	παυούσης	παύοντος
dative	παύοντι	παυούσῃ	παύοντι
PLURAL			
nominative	παύοντες	παύουσαι	παύοντα
accusative	παύοντας	παυούσας	παύοντα
genitive	παυόντων	παυουσῶν	παυόντων
dative	παύουσι(ν)	παυούσαις	παύουσι(ν)

To be
The present participle of εἰμί (*I am*) is ὤν, οὖσα, ὄν (*being*) – just like the table above, but without the παυ- at the beginning.

Present middle participles
These end in -ομενος and have the same endings as the adjective σοφός, *wise.*

Examples:

παύομαι	I cease	→	παυόμενος, -η, -ον	ceasing
βούλομαι	I wish	→	βουλόμενος, -η, -ον	wishing
μάχομαι	I fight	→	μαχόμενος, -η, -ον	fighting

Uses of the present participle

1. To express *when*, *as*, *while*, *since* or *because*.
   ὁ στρατιῶτης ἀπέθανε φεύγων.
   The soldier died (whilst he was/when he was/as he was) running away.

   οὐκ ἔχοντες χρήματα, μαχόμεθα.
   Since/because we don't have (not having) money, we fight.

2. ὁ, ἡ, τό + participle = he who/those who etc.
   ὁ στρατηγὸς ἐκόλασε τοὺς ἐκ τῆς μάχης φεύγοντας.
   The general punished those (who were) fleeing from the battle.

   As we saw with prepositional phrases (the word for 'the' can be repeated to identify particular people:

   ὁ στρατηγὸς ἐκόλασε τοὺς στρατιώτας τοὺς ἐκ τῆς μάχης φεύγοντας.
   The general punished the soldiers the-fleeing-from-the-battle-ones.
   The general punished the soldiers who were fleeing from the battle.
   (The implication being that he didn't punish those who did not flee from the battle.)

3. Used with καίπερ, *although, despite.*
   ὁ διδάσκαλος τὸν παῖδα, καίπερ σοφὸν ὄντα, κολάζει.
   The teacher punishes the boy, although he (i.e. the boy) is (= despite his being) wise.

Exercise 63.1

1. ὁ δεσπότης εἶδε τοὺς δούλους λύοντας τοὺς ἵππους.
2. οἱ στρατιῶται, ἀνδρεῖοι ὄντες, οὐκ ἔφυγον.
3. διώκουσα τὸν ἵππον, ἡ γυνὴ ἔβαλλε τὰ ὅπλα.
4. οἱ ἐν τῇ πόλει μένοντες οὐκ εἶχον ὅπλα.
5. οἱ στρατιῶται οἱ τὸ στρατοπέδον φυλάσσοντες εἶδον τοὺς πολεμίους προσερχομένους.

Exercise 63.2

1. οὐ πιστεύομεν τοῖς κακοὺς λόγους λέγουσιν.
2. οἱ πολῖται ἤκουσαν τοῦ τὴν νίκην ἀγγέλλοντος.
3. οἱ παῖδες καίπερ τοῦ διδασκάλου ἀκούοντες οὐ μανθάνουσιν.
4. αἱ ἐν πολέμοις μαχόμεναι οὐ σοφαί εἰσιν.
5. εἶδομεν τοὺς πολεμίους φεύγοντας.

Vocabulary 42	
ἕπομαι, ἕψομαι, ἑσπόμην (impf. εἱπόμην)	I follow
κρύπτομαι, κρύψομαι, ἐκρυψάμην	I hide (myself)
πυνθάνομαι, πεύσομαι, ἐπυθόμην	I learn, find out, ask

§64 *A nocturnal spying mission.*

τῆς δὲ νυκτὸς πολίτης τις ἦλθε παρὰ τὰς τῆς πόλεως πύλας. εἶδε δὲ ἄνδρας τινὰς βαίνοντας ἀπὸ τῆς ἀκροπόλεως εἰς τὴν ἀγοράν. λάθρᾳ γὰρ ἤθελε ἀκούειν τί λέγουσιν. ἐνθάδε κρύπτομενος ἤκουεν αὐτῶν δεινά τε καὶ κακὰ λεγόντων. τὴν γὰρ πόλιν διαφθείρειν ἐβούλοντο. ἐπεὶ δ᾽οὖν ὁ πολίτης ἐπύθετο ταῦτα, ἔδραμε εὐθὺς εἰς τὴν βουλὴν καὶ ἐκέλευσε τοὺς ἐν τῇ βουλῇ ὄντας λαμβάνειν τὰ ὅπλα καὶ πορεύεσθαι εὐθὺς εἰς τὴν ἀγοράν. ὁ δ᾽ἔσπετο αὐτοὺς.

ἡ ἀκροπόλις = upper city

ταῦτα = these things

§65 The passive voice and 'by'

The Passive Voice

In addition to an ACTIVE and a MIDDLE, Greek has a PASSIVE voice. This is where the nominative or subject is on the receiving end of an action. Look at these comparisons:

Active verb	Passive verb
The boy is killing.	The boy is killed.
The teacher will punish the boy.	The boy will be punished by the teacher.
The men were eating the food.	The food was being eaten by the men.
The Greeks destroyed the city.	The city was destroyed by the Greeks.

Passives in Greek:

Present	**Future**
I am stopped	*I shall be stopped*
παύομαι	παυσθήσομαι
παύει	παυσθήσει /-ῃ
παύεται	παυσθήσεται
παυόμεθα	παυσθησόμεθα
παύεσθε	παυσθήσεσθε
παύονται	παυσθήσονται

Imperfect	**Aorist**
I was being stopped	*I was stopped*
ἐπαυόμην	ἐπαύσθην
ἐπαύου	ἐπαύσθης
ἐπαύετο	ἐπαύσθη
ἐπαυόμεθα	ἐπαύσθημεν
ἐπαύεσθε	ἐπαύσθητε
ἐπαύοντο	ἐπαύσθησαν

BY

After a passive verb there are two ways of expressing BY:

1. by + a person = ὑπό + genitive
   e.g. *We are prevented by the general*.
   κωλυόμεθα ὑπὸ τοῦ στρατηγοῦ.

2. by + a thing = a plain dative on its own
   e.g. *We are prevented by the battle.*
   κωλυόμεθα τῇ μάχῃ.

Exercise 65.1

1. διωκόμεθα ὑπὸ τῶν πολεμίων.
2. τὰ ζῷα ἐθύετο ἐν τῇ ἀγορᾷ.
3. οὐ κωλυθήσομαι μάχεσθαι τοῖς πολεμίοις.
4. οἱ νεανίαι ἐπαιδεύθησαν εὖ ὑπὸ δούλων.
5. οἱ στρατιῶται τάσσονται ὑπὸ τοῦ στρατηγοῦ.

Exercise 65.2

1. οἱ Ἀθηναῖοι ἦγοντο πρὸς τὸ ὄρος ὑπὸ τῶν πολεμίων.
2. οἱ τῶν πολεμίων ἵπποι τῷ ποταμῷ ἐκωλύθησαν.
3. δεινὰ ὅπλα παρασκευάζεται ἐν τῷ στρατοπέδῳ ὑπὸ τῶν στρατιώτων.
4. οἱ δοῦλοι ὑπὸ δεσπότου λυθήσονται.
5. αἱ νῆες ἐφυλάσσοντο ὑπὸ τῶν ναυτῶν.

Exercise 65.3

1. ἡ πόλις φυλάσσεται ὑπὸ τῶν στρατιωτῶν.
2. οἱ ἵπποι πρὸς τὸν ποταμὸν ὑπὸ τῶν συμμάχων ἐδιώκοντο.
3. ὁ δοῦλος ἐλύθη ὑπὸ τοῦ δεσπότου εὐθύς.
4. οὐ κωλυθησόμεθα φεύγειν ὑπὸ τοῦ δεσπότου.
5. ἐπιστολὴ μακρὰ ὑπὸ τοῦ ποιητοῦ ἐν τῇ οἰκίᾳ γράφεται.

Exercise 65.4

1. The slaves were being looked after by the doctors.
2. The slave is being released by the soldiers.
3. The war will be prevented by the magistrates.
4. He has been released by his brothers.
5. The wicked war is being stopped by the goddess.

Exercise 65.5

1. The animals are being chased by the slave.
2. The camp was being guarded by the soldiers.
3. Victory is being announced to the people.
4. The guards were being harmed by the stones.
5. The sailors will not be prevented by the sea’s dangers.

§66 Some tricky aorist passives

Future passives, as in English, are not very common in Greek. Aorist passives, though, are, and some verbs have aorist passive stems you may not expect. Luckily the endings remain the same. Here is a handful of tricky ones to be aware of:

Present	Meaning	Aorist Passive	Meaning
βλάπτω	I harm	ἐβλάβην	I was harmed
γράφω	I write	ἐγράφην	I was written
διώκω	I chase	ἐδιώχθην	I was chased
λαμβάνω	I capture	ἐλήφθην	I was captured
λείπω	I leave	ἐλείφθην	I was left
παύω	I stop	ἐπαύσθην	I was stopped
πέμπω	I send	ἐπέμφθην	I was sent
σῴζω	I save	ἐσώθην	I was saved
φυλάσσω	I guard	ἐφυλάχθην	I was guarded

Exercise 66.1

1. τὰ χρήματα ἐπέμφθη ὑπὸ τῶν συμμάχων.
2. οἱ πολέμιοι ἐδιώχθησαν εἰς τὴν θάλασσαν.
3. οἱ πόλεμοι ἐπαύσθησαν ὑπὸ τῶν θεῶν.
4. τὰ δένδρα ἐβλάβη ὑπὸ τῶν κακῶν νεανιῶν.
5. ἐσώθημεν ὑπὸ τῶν φίλων.

Exercise 66.2

1. The enemy were saved by their allies.
2. A long letter was written by the poet.
3. Animals were caught by the young men.
4. The city was guarded by fine soldiers.
5. Letters were sent by the women to the sailors.

§67 Present participle passive

English: *being somethinged*
These are identical to the present middle participles; that is, they end in -ομενος and have the same endings as the adjective σοφός, *wise.*

Example: παυόμενος, -η, -ον *being stopped*

Study this sentence:
οἱ ἵπποι οἱ ὑπὸ τοῦ βασιλέως παιδευόμενοι καλοί εἰσιν.
The horses – the ones being trained by the king – are beautiful.
Those horses which are being trained by the king are beautiful.

§68 Aorist participles active, middle and passive

These are very common in Greek. Practically every Greek sentence contains some sort of participle or other, and those dealing with the past are particularly worth getting to know.

Active:	παύσας, παύσαντος	*having stopped*
Middle:	παυσάμενος, -η, -ον	*having ceased*
Passive:	παυσθείς, παυσθέντος	*having been stopped*

παυσάμενος has endings like σοφός, so is straightforward.

The endings of παύσας (active) and παυσθείς (passive) are given in the following tables:

Aorist Participle Active
παύσας - *having ceased*

Singular	**masculine**	**feminine**	**neuter**
nominative	παύσας	παύσασα	παῦσαν
accusative	παύσαντα	παύσασαν	παύσαν
genitive	παύσαντος	παύσαντος	παύσαντος
dative	παύσαντι	παυσάσῃ	παύσαντι
Plural			
nominative	παύσαντες	παύσασαι	παύσαντα
accusative	παύσαντας	παυσάσας	παύσαντα
genitive	παυσάντων	παυσασῶν	παυσάντων
dative	παύσασι(ν)	παυσάσαις	παύσασι(ν)

Aorist Participle Passive

παυσθείς, παυσθέντος - *having been stopped*

Singular	**masculine**	**feminine**	**neuter**
nominative	παυσθείς	παυσθεῖσα	παυσθέν
accusative	παυσθέντα	παυσθεῖσαν	παυσθέν
genitive	παυσθέντος	παυσθείσης	παυσθέντος
dative	παυσθέντι	παυσθείσῃ	παυσθέντι
Plural			
nominative	παυσθέντες	παυσθεῖσαι	παυσθέντα
accusative	παυσθέντας	παυσθείσας	παυσθέντα
genitive	παυσθέντων	παυσθεισῶν	παυσθέντων
dative	παυσθεῖσι(ν)	παυσθείσαις	παυσθεῖσι(ν)

Now study carefully these examples. The aorist participles are underlined.

Aorist Active
οἱ τὸ στρατόπεδον δύο ἡμέρας φυλάξαντες οἶνον ἐβούλοντο.
Those having guarded the camp for two days wanted wine.
The men who had guarded the camp for two days wanted wine.

Aorist Middle
τὰς γυναῖκας τὰς τὰ χρήματα δεξαμένας ἐδιώκομεν.
We were chasing the women the-ones-having-received-the-money.
We were chasing the women who had received the money.

Aorist Passive
οἱ δοῦλοι ὑπὸ τοῦ δεσπότου λυθέντες ἐκ τῆς πόλεως ἔδραμον.
The slaves, having been released by the master, ran out of the city.
When the slaves had been released by the master, they ran out of the city.

Exercise 68.1

1. οἱ τοὺς πολεμίους διώξαντες σύμμαχοί εἰσιν.
2. θαυμάζομεν τὸν τοὺς παῖδας διδάξαντα.
3. ἡ θεά, τὰς βοὰς ἀκούσασα, ἄγγελον ἔπεμψεν.
4. ὁ ποιητὴς ὁ τὰ ἆθλα δεξάμενος σοφὸς ἦν.
5. τί ἐστι τὸ ὄνομα τῆς τὴν ἐπιστολὴν γραψάσης;

Exercise 68.2

1. πολλάκις διδάξας ἀεὶ μανθάνω.
2. δῶρον παρέχω τῷ τὸν δοῦλον διώξαντι.
3. αἱ τὴν κώμην φυλάξασαι ἀνδρεῖαί εἰσιν.
4. τίς ἐστιν ὁ στρατηγὸς ὁ τοὺς στρατιώτας τάξας;
5. ἆρα πιστεύεις τοῖς ὑπὸ τῶν πολεμίων λυθεῖσιν;

§69 Strong aorist active participles

You may remember verbs with so-called strong aorists: they are the ones which often shorten their stem and have endings which appear to be imperfects, e.g. λαμβάνω (I take, capture) becomes ἔλαβον (I took), ἔλαβες, ἔλαβε, ἐλάβομεν, ἐλάβετε, ἔλαβον.
These verbs form their strong aorist participles by removing the initial ἐ-, taking the stem, and adding the same endings as those of the present participle active, i.e. -ων, -οντος.
So:
present tense:

λαμβάνω *I take*

strong aorist:

ἔλαβον *I took*

strong aorist participle:

λάβων, λάβοντος *having taken* (masculine)
λάβουσα, λαβούσης *having taken* (feminine)
λάβον, λάβοντος *having taken* (neuter)

λάβων, λάβοντος - *having taken*

		masculine	feminine	neuter
Singular	nominative	λάβων	λάβουσα	λάβον
	accusative	λάβοντα	λάβουσαν	λάβον
	genitive	λάβοντος	λαβούσης	λάβοντος
	dative	λάβοντι	λαβούσῃ	λάβοντι
Plural	nominative	λάβοντες	λάβουσαι	λάβοντα
	accusative	λάβοντας	λαβούσας	λάβοντα
	genitive	λαβόντων	λαβούσων	λαβόντων
	dative	λάβουσι(ν)	λαβούσαις	λάβουσι(ν)

These are common in Greek. Check out the common examples on the next page.

present	strong aorist	strong aorist participle	meaning
ἄγω	ἤγαγον	ἀγάγων	having led
ἀποθνήσκω	ἀπέθανον	ἀποθάνων	having died
βάλλω	ἔβαλον	βάλων	having thrown
ἔρχομαι	ἦλθον	ἐλθών	having come/gone
ἔχω	ἔσχον	σχών	having had/held
λαμβάνω	ἔλαβον	λάβων	having taken
λέγω	εἶπον	εἶπων	having said
λείπω	ἔλιπον	λίπων	having left
μανθάνω	ἔμαθον	μάθων	having learned
τρέχω	ἔδραμον	δράμων	having run
φεύγω	ἔφυγον	φύγων	having fled

Exercise 69.1

1. οἱ ἐν τῷ πολέμῳ ἀποθάνοντες ἀνδρεῖοι ἦσαν.
2. οἱ δοῦλοι καίπερ δράμοντες ὑπὸ τοῦ δεσπότου ἐλήφθησαν.
3. οἱ πολεμίοι τὴν πόλιν λάβοντες διέφθειραν αὐτὴν.
4. ὁ στρατιώτης ὁ φύγων ἐκολάσθη ὑπὸ τοῦ στρατηγοῦ.
5. ἡ γυνὴ σοφοὺς λόγους εἴπουσα ἀπῆλθεν.

§70 Future Participles

These are easy to form, being based on the futures active, middle or passive.

Future Active
English meaning: 'about to do / on the point of doing something'.
Formation: take the future, remove the -ω at the end and replace it with -ων. This goes like the present participle.

Examples: παύσων, παύσουσα, παύσον *about to stop*
διώξων, διώξουσα, διώξον *about to chase*

Future Middle
Formation: future stem + -ομενος (goes like σοφός)
Examples: παυσόμενος, -η, -ον *about to cease*
πορευσόμενος, -η, -ον *about to march*

Future Passive
English: *to be about to be somethinged*
Formation: future stem + -ομενος (goes like σοφός)
Examples: παυθησόμενος, -η, -ον *about to be stopped*
λυθησόμενος, -η, -ον *about to be released*

Expressing Purpose
One way of expressing purpose (*in order to...*) in Greek is to use the formula ὡς + a future participle.

Examples:
ὁ στρατηγὸς ἦλθε ὡς τοῖς θεοῖς θύσων.
The general came in order to sacrifice to the gods.

οἱ δοῦλοι ἦλθον ὡς λυσόντες τοὺς ἵππους.
The slaves came in order to release the horses.

§71 Middle verbs: strong aorist participles

Strong aorists, if you remember, have endings which are the same as the imperfect endings of 'normal' verbs.
e.g. λαμβάνω, *I take* → ἔλαβον, *I took*

Middle verbs form their strong aorist participles – *having done something* – by:
1. removing the augment (ἐ-) from the front of the strong aorist.
2. removing the -ομην from the end.
3. adding -ομενος to the stem that's left.

Example:
γίγνομαι, *I happen, become*
Strong aorist: ἐγενόμην, *I became, happened*
Stem: -γεν-
Str. Aor. Part: γενόμενος, -η, -ον, *having become, having happened*

This is an adjective, with endings the same as those of σοφός, and agrees with the subject.

Two common phrases
τὰ γενόμενα
the things having happened, is a commonly found phrase, often simply translated as *what had happened*, or *the news*, or *these events.*

ἀφικόμενος, -η, -ον
having arrived (from ἀφικνέομαι, *I arrive,* aorist: ἀφικόμην, *I arrived)* is another common occurrence, usually at the start of a sentence.

Example:
ἀφικόμενοι εἰς τὴν πόλιν, οἱ στρατιῶται ἤκουσαν τὰ γενόμενα.
Having arrived at the city, the soldiers heard what had happened.

§72 Summary of Participles. Revision.

	Active	Middle	Passive
Present	παύων *stopping*	παυόμενος ceasing	παυόμενος *being stopped*
Future	παύσων *about to stop*	παυσόμενος *about to cease*	παυσθησόμενος *about to be stopped*
Aorist	παύσας *having stopped*	παυσάμενος *having ceased*	παυσθείς *having been stopped*
Strong Aorist	λαβών *having taken*	λαβόμενος *having taken for myself*	ληφθείς *having been taken*

Time for a spot of revision, using an injection of new vocabulary.

Vocabulary 43	
αἴτιος + gen.	responsible for, guilty of
ἄξιος + gen.	worthy of
ἔτι	still, yet
ἡ ἀρχή	beginning, power, empire
ἡ τίμη	honour
ἡ συμφορά	disaster, misfortune
ὁ αἰχμάλωτος	prisoner (of war)
ὁ ἄνεμος	wind
ὁ χειμών, χειμῶνος	storm
τὸ πῦρ, πυρός	fire
τὸ ὕδωρ, ὕδατος	water
θάπτω, fut. φάψω, aor. ἔθαψα, aor. pass. ἐτάφην	I bury

Exercise 72.1

1. ἔθαψαν λάθρᾳ τὰ τῶν αἰχμαλώτων σώματα.
2. οἱ ἄνεμοι καὶ οἱ χειμῶνες αἴτιοι ἦσαν τῆς τῶν νεῶν συμφορᾶς.
3. διὰ τί οὐκ ἐθάψομεν τὸν τοῦ βασιλέως υἱὸν εὐθύς;
4. δέξαμενοι ὕδωρ καὶ οἶνον, οἱ στρατιῶται μάλιστα ἐβούλοντο μάχεσθαι.
5. οἱ ὑπὲρ τῆς πατρῖδος μαχόμενοι ἀεὶ ἄξιοι τῆς τιμῆς εἰσιν.

Exercise 72.2

1. τῷ ἀνέμῳ καὶ τῷ χειμῶνι κωλυθέντες, οἱ ναῦται οὐχ οἷοί τ᾽ ἦσαν εὖ μάχεσθαι.
2. οἱ φύλακες οἱ ἐν τῇ πόλει αἴτιοι τῆς αἰσχρᾶς συμφορᾶς εἰσιν.
3. ἐν πολέμῳ ἀεὶ παρέχομεν σῖτόν τε καὶ ὕδωρ τοῖς αἰχμαλώτοις.
4. ἡ τῶν Ἀθηναίων ἀρχὴ ἐχθρὰ τοῖς Λακεδαιμονίοις ἦν.
5. οἱ Ἕλληνες διέφθειραν τὰ τῆς πόλεως τείχη πυρὶ καὶ ὅπλοις.

Exercise 72.3

1. In peace, sons bury (their) fathers.
2. In war, fathers bury (their) sons.
3. Good soldiers are always worthy of honour.
4. Storms and winds often destroy ships.
5. Ships are often destroyed by storms and winds.

§73 *After the Greeks finally destroy Troy, Odysseus has a difficult journey home.*

οἱ Ἕλληνες μαχεσάμενοι δέκα ἔτη ἐπὶ τὴν Τροίαν οὐκ ἔθ᾽οἷοί τ᾽ἦσαν λαμβάνειν αὐτὴν. τέλος δὲ τὴν πόλιν λάβοντες διέφθειραν. ἔπειτα δ᾽ἐπανῆλθον πρὸς τὴν πατρίδα, οὗ τὰ τέκνα καὶ αἱ γυναῖκες αὐτοὺς ἔμενον.

ἀλλὰ τῷ Ὀδυσσεῖ κωλυθέντι ὑπὸ τῶν θεῶν ὁ νόστος ἦν μακρός τε καὶ χαλεπός. ὁ γὰρ τῆς θαλάσσης θεός, ὀνόματι Ποσειδῶν, τὴν ναῦν διαφθείρας τὸν Ὀδυσσέα ἠνάγκαζε νεῖν δύο ἡμέρας. τέλος δ᾽εἰς νῆσόν τινα ἀφικόμενος ὁ Ὀδυσσεὺς ἐσώθη ὑπὸ τῆς τοῦ βασιλέως θυγατρός. μετὰ δ᾽ὀλίγας ἡμέρας καλὰ δῶρα δεξάμενος ἐν νηὶ ἀποπεμφείς, πορευσάμενος ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας τέλος ἐπανῆλθεν εἰς τὴν πατρίδα.

Ἕλληνες = Greeks

ἔθ᾽οἷοί = ἔτι + οἷοί

ἡ πατρίς, πατρίδος = homeland
οὗ = where

ὁ νόστος = journey home

νεῖν = to swim

ὀλίγοι, -αι, -α (pl.) = a few

§74 Regular comparison of adjectives in –ος

Comparison is all about comparing things. There are three degrees of comparison. These are called *positive*, *comparative* and *superlative*.

All the adjectives we have met so far are **positive** adjectives; for example: σοφός *wise*, φίλιος *friendly*.

Comparative adjectives in English usually end in –*er* or start with *more*
e.g.: taller, smaller, more beautiful, more interesting

Superlative adjectives in English usually end in –*est* or start with *very* or *most*
e.g.: tallest, smallest, very beautiful, most beautiful

Here are some regular English examples:

Positive	Comparative	Superlative
tall	taller	tallest / very tall / most tall
interesting	more interesting	very interesting / most interesting
brave	braver	bravest / very brave / most brave

There are also some irregular examples in English:

Positive	Comparative	Superlative
good	better (not *gooder*!)	best (not *goodest*!) / very good
bad	worse (not *badder*!)	worst (not *baddest*!) / very bad
many	more (not *manyer*!)	most (not *manyest*!) / very many

In Greek, regular comparison happens like this:

Positive	Comparative	Superlative
σοφός *wise*	σοφώτερος *wiser*	σοφώτατος *wisest/very wise*
μῶρος *foolish*	μωρότερος *more foolish*	μωρότατος *very foolish*

Three things to note:

1. The linking vowel is usually ω, but when the vowel just before it is long , or a diphthong (two vowels pronounced as one), it becomes ο.
2. -τερος adjectives go like φίλιος, so their feminines are in -τερα.
3. -τατος adjectives go like σοφός, so their feminines are in -τατη.

How to express *than* in Greek
There are two ways of doing this.

1. Using ἤ, when the nouns being compared are in the same case.
   οἱ πολῖται σοφώτεροί εἰσιν ἢ οἱ θεοί.
   The citizens are wiser than the gods.

2. Using a 'genitive of comparison'.
   οἱ πολῖται σοφώτεροί εἰσι τῶν θεῶν.
   The citizens are wiser than the gods.

Vocabulary 44	
ἄλλος*, -η, -ο	other, another
ἀνά + acc.	up
γε (cannot come first in a clause)	at least, at any rate
ἱερός, -α, -ον	sacred
ἰσχυρός, -ά, -όν	strong
μῶρος, -α, -ον	foolish
ὀλίγος, -η, -ον	little
ὀλίγοι, -αι, -α (pl. endings)	few
πιστός, -ή, -όν	faithful, trustworthy
πλούσιος, -α, -ον	rich
ὑψηλός, -ή, -όν	high
ἄδικος, -ος**, -ον	unjust

* beware of confusing this word with ἀλλά, *but*. The acute accent on the first syllable is the giveaway.

** this adjective's feminine endings are the same as its masculine endings. A handful of adjectives behave like this.

Exercise 74.1

1. οἱ Λακεδαιμόνιοι ἀνδρειότεροι ἦσαν ἢ οἱ Ἀθηναῖοι.
2. οἱ πολίται πιστότεροι τῶν δούλων εἰσιν.
3. τὰ τῆς πόλεως τείχη ὑψηλότατα ἦν.
4. οἱ διδάσκαλοι πολλάκις σοφώτεροί εἰσι τῶν παίδων.
5. τίς πιστότερος ἢ κριτής ἐστιν;

Exercise 74.2

1. οἱ τῶν κριτῶν λόγοι ἀεὶ δικαιότατοί εἰσιν.
2. ὀλίγοι διδάσκαλοι πλουσιώτατοί εἰσιν.
3. οἱ Ἀθηναῖοι σοφώτεροι ἦσαν τῶν Λακεδαιμονίων.
4. οἱ νεανίαι μωρότεροι ἢ οἱ κριταί εἰσιν.
5. ὁ πλουσιώτατος δεσπότης ἔχει πιστοτάτους δούλους.

Exercise 74.3

1. The road was very difficult.
2. The slave of the judge is very trustworthy.
3. The animals were more terrible than the soldiers.
4. The enemy's fleet was very strong.
5. Some men are just, others are unjust.

There are some tricky irregular comparisons not mentioned here, but we'll save them for later!

§75 Personal pronouns

		1st person		2nd person	
Singular	nominative	ἐγώ	*I*	σύ	*you*
	accusative	ἐμέ / με	*me*	σέ	*you*
	genitive	ἐμοῦ / μου	*of me/my*	σοῦ	*of you/your*
	dative	ἐμοί / μοι	*to/for me*	σοί	*to/for you*
Plural	nominative	ἡμεῖς	*we*	ὑμεῖς	*you*
	accusative	ἡμᾶς	*us*	ὑμᾶς	*you*
	genitive	ἡμῶν	*of us/our*	ὑμῶν	*of you/your*
	dative	ἡμῖν	*to/for us*	ὑμῖν	*to/for you*

The nominatives of these pronouns are used to add emphasis, or to point out a contrast.

Examples:
ἐγὼ μὲν σοφός εἰμι, σῦ δ᾽οὔ.
I am wise, but you aren't.

ἡμεῖς μὲν Ἀθηναῖοί ἐσμεν, ὑμεῖς δὲ Λακεδαιμόνιοι.
We are Athenians, but you are Spartans.

Exercise 75.1

1. ὁ πατὴρ παρέχει ἵππον ἐμοί.
2. ἐγὼ σοφώτερός εἰμι σοῦ.
3. ὁ δεσπότης ἡμᾶς μὲν ἐκόλασε, ὑμᾶς δ᾽οὔ.
4. ὁ κριτής μοι οὐ πιστεῦει.
5. ὁ στρατηγὸς ἔπεμψέ με εἰς τὴν πόλιν.

Exercise 75.2

1. τί ἐστι τὸ ὄνομά σου;
2. ὁ στρατηγὸς ἐκέλευσε ἡμᾶς εὖ μάχεσθαι ἐν τῇ μάχῃ.
3. τὸ ἔργον χαλεπώτατον ἦν ἡμῖν.
4. ὁ πλούσιος βασιλεὺς παρέξει σοι χρήματα.
5. ῥᾴδιον ἔσται ὑμῖν φυλάσσειν τὸ στρατόπεδον.

Exercise 75.3

1. The woman is wiser than you (singular).
2. The judge sent me out of the city.
3. Your (plural) father is both rich and wise.
4. The general trusts me, but not you (singular).
5. The task is difficult for me, but easy for you (singular).

